eul_wid: cxk-aa

*Μεταγένης ὁ κωμικός* · Metagenes the Comic Poet

# Feast of Automatic Delicacies

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 τίς ἡ Κολαινὶς Ἄρτεμις; ἱερεὺς γὰρ ὢν
book 1.2 τετύχηκα τῆς Κολαινίδος.
book 2.1 ἀλλ’, ὦγαθέ, δειπνῶμεν
book 2.2 πρῶτον, κἄπειτά με πάντ’ ἐπερώτα, ἅττ’ ἂν βούλῃ· νῦν γὰρ
book 2.3 πεινῶν δεινῶς πώς εἰμ’ ἐπιλήσμων.
book 3.1 ὥσπερ ἐπειδὰν δειπνῶμέν
book 3.2 που, τότε
book 3.3 πλεῖστα λαλοῦμεν ἅπαντες.
book 4.1 ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας ὡραίας
book 4.2 πρότερον, νῦν δ’ οὐχ ὑμῖν ἀγορεύω ἄρτι
book 4.3 χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα ἀνδρῶν
book 4.4 φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.
book 5 οἰκίσκον
book 6.1 ὁ μὲν
book 6.2 ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει μάζας μεγίστας αὐτόματος μεμαγμένας, ὁ δ’ ἕτερος ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν ἑφθῶν
book 6.3 τε βατίδων εἰλυομένων αὐτόσε.[ln_5]τὰ δὲ μικρὰ ταυτὶ ποτάμι’ ἐνμεντευθενὶ ῥεῖ τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις, ἐντευθενὶ δ’ ἀλλᾶσι καὶ περικόμμασιν, τῃδὶ δ’ ἀφύαισι, τῇδε δ’ αὖ ταγηνίαις. τεμάχη δ’ ἄνωθεν αὐτόματα
book 6.4 πεπνιγμένα[ln_10]εἰς τὸ στόμ’ ᾄττει, τὰ δὲ παρ’ αὐτὼ τὼ πόδε, ἅμυλοι δὲ περινέουσιν ἡμῖν ἐν κύκλῳ.
book 7.1 τίς
book 7.2 τρόπος ἵππων; ὡς δ’ ὀρχοῦνται τὸν βαρβαρικὸν
book 7.3 τρό-[ln_1]πον οὗτοι.
book 8 πίνακα
book 9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συγκόψαι

book 10 καὶ Λύκων ἐνταῦθά που . . προδοὺς Ναύπακτον ἀργύριον λαβὼν ἀγορᾶς ἄγαλμα ξενικὸν ἐμπορεύεται.

book 12 δίμυξον ἢ τρίμυξον ὡς ἐμοὶ δοκεῖ.

book 13.1 [spk_β]ὦ πολῖται, δεινὰ πάσχω. B. τίς

book 13.2 πολίτης δ’ ἔστ’ ἔτι

book 13.3 πλὴν ἄρ’ εἰ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;

book 14.1 κατ’ ἐπεισόδιον μεταβάλλω τὸν λόγον, ὡς ἂν καιναῖσι

book 14.2 παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον.

book 15 λαθροφαγεῖν

book 16 ῥαφανῖδος, ἀμύλου, λεκίθων, καρύων, ζωμοῦ, πολφῶν, οἴνου, κολοκύντης.

book 19 δουλάρια

Eulogikon public reading copy · View original HTML at eulogikon.org